Ος λαλέειν εἰδὼς, ἑτέρους ἐδίδασκε σιωπᾶν,
φάρμακον ἡσυχίης ἐγκρατὲς εὑράμενος.

Τοῦ αὐτοῦ.

Πᾶς τις ἀπαίδευτος, φρονιμώτατός ἐστι σιωπῶν.
Τὸν λόγον ἐγκρύπτων ὡς πάθος αἴσχιστον.

---

## ΕΙΣ ΣΟΦΙΑΝ, κεφ. ος.

### ΚΡΙΝΑΓΟΡΟΥ.

Αχρι τεῦ ὦ δείλαιε κεναῖς ἐπὶ ἐλπίσι θυμὲ
Ποτηθεὶς ψυχρῶν ἀσσοτάτω νεφέων,
Αλλοις ἄλλ' ἐπ' ὄνειρα διαγράψεις ἀφένοιο;
Κτητὸν γὰρ θνητοῖς οὐδὲ ἓν αὐτόματον.
Μουσέων ἀλλ' ἐπὶ δῶρα μετέρχεο· ταῦτα δ' ἀμυ-
Εἴδωλα ψυχῆς ἠλεμάτοισι μέθες. (δρὰ

### ΑΠΟΛΛΟΝΙΔΟΥ.

Αἴλιος, αὐσονίων ὕπατον κλέος, εἶπεν ἀθρήσας
Εὐρώταν, σπάρτης χαῖρε φέριστον ὕδωρ.
Μουσέων δ' ἐπὶ χεῖρα βαλὼν πολυΐστορα βίβλῳ,
Εἶδεν ὑπὲρ κορυφῆς σύμβολον εὐμαθίης.
Κίτλας, μιμηλὸν βιότου πλέον, ἐν σκιερῇσιν
Αγκεσι παμφώνων μέλπον ἀπὸ στομάτων·
Ωρμήθη δ' ἐπὶ τὰς δε. τί δ' οὐ ζηλωτὸς ὁ μόχθος,
Εἰ καὶ πλεῖνα πέθει κάρυξ ἡμετέρης;

### ΝΕΣΤΟΡΟΣ.

Τίπλέ με θρυλλύσαντες, ἐμὴν ἀπεπαύσατ' ἀοιδήν;
Ιππεὺς ἱππεύειν ἔδαη, καὶ ἀοιδὸς ἀείδειν.

Ην δέ